ὅτι ἀπόρητον

ἀρετὴ τἀληθές ἐστιν, τὸ κρεῖττον μὲν ἀγαθοῦ· κάλλιον δὲ καλοῦ
καὶ μακαριότητος μὲν μακαριώτερον. εὐδαιμονίας δ' αὐτῆς εὐ-
δαιμονέστερον. καὶ εἴ τι τῶν εἰρημένων τελειότερον. οὐ γὰρ φθάνει
προσαναβαίνειν ὁ λόγος ἐπὶ τὸν ἄψαυστον καὶ ἀναφῆ πάντῃ θεόν· καὶ
ὑπονοστεῖ καὶ ὑπορρεῖ κυρίοις ὀνόμασιν ἀδυνατῶν ἐπιβάθρᾳ
χρήσασθαι πρὸς δήλωσιν οὐ λέγω τοῦ ὄντος· οὐδὲ γὰρ ὁ σύμπας
οὐρανὸς ἔναρθρος φωνὴ γενόμενος, εὐθυβόλων καὶ εὐσκόπων πρὸ
τοῦτο, εὐποροίη ῥημάτων. ἀλλὰ τῶν δορυφόρων αὐτοῦ δυνάμεων·
κοσμοποιητικῆς τε καὶ βασιλικῆς· καὶ τῶν ἄλλων ὅσαι εὐεργέτιδες
τε καὶ κολαστήριοι· εἴ γε καὶ τὰς κολαστηρίους ἐν εὐεργέτισι τακτέον·
οὐ μόνον ἐπειδὴ νόμων εἰσὶ μοῖραι, νόμος γὰρ ἐκ δυοῖν συμπληροῦται

: καὶ θεσμῶν

πέφυκε τιμῆς ἀγαθῶν καὶ τιμωριῶν κολάσεως, ἀλλ' ὅτι καὶ ἡ κόλασις
νουθετεῖ καὶ σωφρονίζει πολλάκις μὲν καὶ τοὺς ἁμαρτάνοντας· εἰ δὲ μή,
πάντως γοῦν τοὺς πλησιάζοντας· αἱ γὰρ ἑτέρων τιμωρίαι, βελτιοῦσι
τοὺς πολλούς· φόβῳ τοῦ μὴ παραπλήσια παθεῖν. τίς γὰρ ἰδὼν Γάϊον
μετὰ τὴν τοῦ Τιβερίου Καίσαρος τελευτὴν παρειληφότα τὴν ἡγε-
μονίαν πάσης γῆς καὶ θαλάσσης ἀστασίαστον καὶ εὔνομον· καὶ πᾶσι
τοῖς μέρεσιν ἡρμοσμένην πρὸς τὸ σύμφωνον, ἑῴοις· ἑσπερίοις·
μεσημβρινοῖς· ἀρκτικοῖς. τοῦ μὲν βαρβαρικοῦ γένους τῷ ἑλληνικῷ·
τοῦ δὲ ἑλληνικοῦ τῷ βαρβαρικῷ. καὶ τοῦ μὲν στρατιωτικοῦ τῷ κατὰ πόλεις·
τοῦ δὲ πολιτικοῦ τῷ στρατευομένῳ συμφρονήσαντος εἰς θαυμαστὴν
ἀπόλαυσιν εἰρήνης, οὐκ ἐθαύμασε καὶ κατεπλάγη τῆς δὲ ὑπερφυοῦς
καὶ παντὸς λόγου κρείττονος εὐπραγίας ἐξ ἑτοίμου τἀγαθὰ ἀθρόα
σωρηδὸν κεκληρονομηκότα. πάμπολυ πλῆθος θησαυρῶν χρημάτων·
ἀργύρου καὶ χρυσοῦ. τοῦ μὲν ὡς ὕλης. τοῦ δέ, ὡς νομίσματος. τοῦ δέ, ὡς
προβοσκήματα δι' ἐκπωμάτων καὶ τινων ἑτέρων ἃ πρὸς ἐπίδειξιν
τεχνιτεύεται. πάμπολυ πλῆθος δυνάμεων· πεζαί. ναυτικαί. ἱππικαί.
πρόσοδοι δ' ὡς ἀπὸ πηγῶν ἀεννάων φορᾷ τινὶ χορηγούμεναι. ἀρχὴν

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG

BIBLIOTECA APOSTOLICA VATICANA

The Polonsky Foundation

© Biblioteca Apostolica Vaticana

https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_183/0654